ὅπου μὲν οὖν αὐτοὶ τῷ τιθέναι σύνεγγυς ἐκφανεῖς ποιοῦσι τὰς ἀντιλογίας, δεῖ τῷ βελτίονι συνηγορεῖν ὥσπερ ἐν τούτοις (Eur fr. 254)

D 'πόλλ', ὦ τέκνον, σφάλλουσιν ἀνθρώπους θεοί.'
'τὸ ῥᾷστον εἶπας, αἰτιάσασθαι θεούς.'

καὶ πάλιν (Eur. fr. 1069)

'χρυσοῦ σε πλήθει, τοῖσδε δ' οὐ χαίρειν χρεών.
σκαιόν γε πλουτεῖν κἄλλο μηδὲν εἰδέναι'

καί (Tr. adesp. 350)

'τί δῆτα θύειν δεῖ σε κατθανούμενον;'
'ἄμεινον· οὐδεὶς κάματος εὐσεβεῖν θεούς.'

τὰ γὰρ τοιαῦτα τὰς λύσεις ἔχει προδήλους, ἐὰν ὥσπερ εἴρηται, πρὸς τὰ βελτίονα τῇ κρίσει τοὺς νέους κατευθύνωμεν. ὅσα δ' εἴρηται μὲν ἀτόπως εὐθὺς δ' οὐ λέλυται, ταῦτα δεῖ τοῖς ἀλλαχόθι πρὸς τοὐναντίον εἰρημένοις ὑπ' αὐτῶν ἀνταναιρεῖν, E μὴ ἀχθομένους τῷ ποιητῇ μηδὲ χαλεπαίνοντας ... ἀλλ' ἐν ἤθει καὶ μετὰ παιδιᾶς λεγομένοις. εὐθύς, εἰ βούλει, πρὸς τὰς Ὁμηρικὰς τῶν θεῶν ῥίψεις ὑπ' ἀλλήλων καὶ τρώσεις ὑπ' ἀνθρώπων καὶ διαφορὰς καὶ χαλεπότητας (*Η* 358)

'οἶσθα καὶ ἄλλον μῦθον ἀμείνονα τοῦδε νοῆσαι'

καὶ νοεῖς νὴ Δία καὶ λέγεις κρεῖττον ἀλλαχόθι καὶ βέλτιον τὰ τοιαῦτα 'θεοὶ ῥεῖα ζώοντες' (Ζ 138) καί (ζ 46)

'τῷ ἔνι τέρπονται μάκαρες θεοὶ ἤματα πάντα'

καὶ (*Ω* 525)

'ὣς γὰρ ἐπεκλώσαντο θεοὶ δειλοῖσι βροτοῖσι,
ζώειν ἀχνυμένοις· αὐτοὶ δέ τ' ἀκηδέες εἰσίν.'

F αὗται γάρ εἰσι δόξαι περὶ θεῶν ὑγιαίνουσαι καὶ ἀληθεῖς, ἐκεῖνα δὲ πέπλασται πρὸς ἔκπληξιν ἀνθρώπων. πάλιν Εὐριπίδου λέγοντος (fr. 972)